οὖν ὁ χαρακτὴρ τοῦ εὐαγγελίου σαφής, καὶ οὐδὲν ἔχων περινενοημένον. σχεδὸν δὲ καὶ κατὰ πάντα τῷ Ματθαίῳ συντρέχει ὁ παρὼν εὐαγγελιστής, πλὴν ὅσον ὁ Ματθαῖος πλατύτερος· καὶ ὅτι ὁ μὲν Ματθαῖος τῆς κατὰ σάρκα γεννήσεως τοῦ Κυρίου ἐν ἀρχῇ μνημονεύει. οὗτος δὲ ἀπὸ τοῦ προφήτου ἤρξατο Ἰωάννου. ὅθεν τινὲς (εἰ καὶ περιεργότερον δοκεῖ) τοιοῦτόν τι νόημα εἶπον ἐπὶ τοῖς εὐαγγελισταῖς· ὁ ἐπὶ τῶν Χερουβὶμ καθήμενος Θεός, ἃ τετραπρόσωπα ἡ γραφὴ λέγει, παρέδωκεν ἡμῖν τετράμορφον καὶ τὸ εὐαγγέλιον, ἑνὶ πνεύματι συνεχόμενον. ὥσπερ οὖν τῶν Χερουβὶμ ἕκαστον, ἓν μὲν πρόσωπον εἶχεν ὅμοιον λέοντι, ἕτερον δὲ ἀνθρώπῳ, καὶ ἕτερον ἀετῷ, καὶ ἕτερον μόσχῳ· οὕτω καὶ ἡ τοῦ εὐαγγελικοῦ κηρύγματος πραγματεία. τὸ μὲν γὰρ κατὰ Ἰωάννην εὐαγγέλιον, ἔχει λέοντος πρόσωπον· βασιλικὸν γὰρ ὁ λέων, καὶ ἡγεμονικόν. ὁμοίως οὖν καὶ ὁ Ἰωάννης ἀπὸ τοῦ βασιλικοῦ καὶ δεσποτικοῦ ἀξιώματος τῆς θεότητος τοῦ λόγου ἤρξατο, εἰπών· Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεόν. τὸ δὲ κατὰ Ματθαῖον, ἀνθρωπόμορφον. ἀπὸ γὰρ τῆς κατὰ σάρκα γεννήσεως καὶ ἐνανθρωπήσεως τοῦ λόγου ἤρξατο. τὸ δὲ κατὰ Μάρκον, ἀετῷ παρεικαζόμενον. ἀπὸ γὰρ προφήτου ἤρξατο τοῦ Ἰωάννου. ἡ δὲ προφητικὴ χάρις προορατικὴ οὖσα, καὶ ὀξέως τὰ πόρρω βλέπουσα, ὡς ἀετός ἐστι. φασὶ γὰρ τὸν ἀετὸν ὀξυδερκέστατον εἶναι, ὥστε καὶ μόνον τῶν ἄλλων ζώων πρὸς τὸν ἥλιον δύνασθαι ἀτενίζειν, μὴ καμμύοντα. μόσχῳ δὲ ὅμοιον τὸ κατὰ Λουκᾶν, διότι ἀπὸ τῆς ἱερατείας τοῦ Ζαχαρίου ἤρξατο, ὑπὲρ τῶν ἁμαρτιῶν τοῦ λαοῦ θυμιῶντος. καὶ μόσχος δὲ ἦν ὁ θυόμενος τότε. ἄρχεται οὖν ὁ Μάρκος τοῦ εὐαγγελίου ἀπὸ τῆς τοῦ προδρόμου διαγωγῆς καὶ ἐνδείξεως. ἄκουε οὖν τί φησιν.

## ΤΑ ΚΕΦΑΛΑΙΑ ΤΟΥ ΚΑΤΑ ΜΑΡΚΟΝ ΕΥΑΓΓΕΛΙΟΥ.

α' περὶ τοῦ δαιμονιζομένου.
β' περὶ τῆς πενθερᾶς τοῦ Πέτρου.
γ' περὶ τῶν ἰαθέντων ἀπὸ ποικίλων νόσων.
δ' περὶ τοῦ λεπροῦ.
ε' περὶ τοῦ παραλυτικοῦ.
ϛ' περὶ τοῦ Λευῒ τοῦ τελώνου.
ζ' περὶ τοῦ ξηρὰν ἔχοντος τὴν χεῖρα.
η' περὶ τῆς τῶν ἀποστόλων ἐκλογῆς.
θ' περὶ τοῦ σπόρου παραβολή.
ι' περὶ τῆς ἐπιτιμήσεως τῶν ὑδάτων.
ια' περὶ τοῦ λεγεῶνος.
ιβ' περὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου.
ιγ' περὶ τῆς αἱμοῤῥοούσης.
ιδ' περὶ τῆς τῶν ἀποστόλων διαταγῆς.
ιε' περὶ Ἰωάννου καὶ Ἡρώδου.
ιϛ' περὶ τῶν πέντε ἄρτων καὶ τῶν δύο ἰχθύων.
ιζ' περὶ τοῦ ἐν θαλάσσῃ περιπάτου.
ιη' περὶ τῆς παραβάσεως τῆς ἐντολῆς τοῦ Θεοῦ.
ιθ' περὶ τῆς Συροφοινίσσης.
κ' περὶ τοῦ μογιλάλου.
κα' περὶ τῶν ἑπτὰ ἄρτων.
κβ' περὶ τῆς ζύμης τῶν Φαρισαίων.
κγ' περὶ τοῦ τυφλοῦ.
κδ' περὶ τῆς ἐν Καισαρείᾳ ἐπερωτήσεως.
κε' περὶ τῆς μεταμορφώσεως τοῦ Ἰησοῦ.
κϛ' περὶ τοῦ σεληνιαζομένου.
κζ' περὶ τῶν διαλογιζομένων τίς μείζων.
κη' περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον, εἰ ἔξεστιν ἀπολῦσαι τὴν γυναῖκα.
κθ' περὶ τοῦ ἐπερωτήσαντος πλουσίου τὸν Ἰησοῦν.
λ' περὶ τῶν υἱῶν Ζεβεδαίου.
λα' περὶ τοῦ Βαρτιμαίου.
λβ' περὶ τοῦ πώλου.
λγ' περὶ τῆς ξηρανθείσης συκῆς.
λδ' περὶ ἀμνησικακίας.
λε' περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον ἀρχιερέων καὶ πρεσβυτέρων.
λϛ' περὶ τοῦ ἀμπελῶνος.
λζ' περὶ τῶν ἐπερωτησάντων τὸν Κύριον διὰ τὸν κῆνσον.
λη' περὶ τῶν Σαδδουκαίων.
λθ' περὶ τοῦ γραμματέως.
μ' περὶ τῆς τοῦ Κυρίου ἐπερωτήσεως.
μα' περὶ τῆς τὰ δύο λεπτὰ βαλούσης.
μβ' περὶ συντελείας.
μγ' περὶ τῆς ἡμέρας καὶ ὥρας.
μδ' περὶ τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ.
με' περὶ τοῦ πάσχα.
μϛ' περὶ τῆς παραδόσεως προφητεία.
μζ' περὶ ἀρνήσεως Πέτρου.
μη' περὶ τῆς αἰτήσεως τοῦ σώματος τοῦ Κυρίου.